UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 261.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Nam qui pro suis quoque peccatis, vt ab Apostolo dictum est, sacrificia offerunt, haud sanè velut pro suo iure, iis, quos scelerum minimè pœniteat, etiamsi locupletibus & opulentis, peccata condonare queant. Nam quòd Sacerdotibus cauponũ instar quæstui res habere minimè permiserit, nec priuata commoda spectare præceperit, verùm ad subditorũ vtilitatẽ omnia præscripserit is, qui sanctitatis omnis & puritatis templum eos esse vult, tum per sacrarum rerum interpretem Mosen, tum per seipsum indicauit. Per Mosen, inquam, ad hunc modum loquens: Si quis depositum adulterarit, primùm res ereptas reddat: deinde in templum veniat, nõ Sacerdotem sed Deum placaturus. Per seipsum autem, cùm ait, Accipite Spiritũ sanctum, quorum remiseritis peccata, remittuntur eis: & quorum retinueritis, retenta sunt. Cùm igitur ob diuinum Spiritum huiusmodi gratiam acceperint, non est id quidem dubium, quin ij, qui per peccata sua hunc abigunt, hanc potestatem non habeant; verùm ij demum, quibus per Spiritum sanctum exploratum est, quinam venia, quinam condemnatione digni sint. Quoniam enim hoc humanam mentem excedebat, idcirco Paracletus, qui diuinæ essentiæ atque gloriæ socius est, earum rerum, quas mens humana consequi non poterat, doctorem se iis præbuit, qui sui susceptione digni erant.

*Eidem.* 261.

Quemadmodum viperæ parentis morte, sic etiam peccata parentum suorum interitu obstetricantur.

*Heraclio Episcopo.* 262.

Amicus quidam meus ad te se contulit, vt obsidem se pro patre præbeat, eúmque

λαμβάνοντες, τὸ δεῦτε καὶ κληρονομήσωμεν ἑαυτοῖς τὸ θυσιαστήριον τοῦ θεοῦ. λειτουργοὶ γάρ εἰσιν οὐ κοινωνοὶ πρέσβεις, οὐ κριταὶ, μεσίται, οὐ βασιλεῖς. οἱ γὰρ καὶ περὶ οἰκείων ἁμαρτημάτων, ὡς ἔφη ὁ ἀπόστολος, θυσίας προσφέροντες, οὐκ ἂν δήπου ἐξ αὐθεντίας τοῖς ἀμετανοήτοις, εἰ καὶ πλούσιοι εἶεν, δύναιντ' ἀφεῖναι ἁμαρτίας. ὅτι γὰρ οὐ τοῖς ἱερωμένοις καπηλεύειν τὰ πράγματα ἐπέτρεψεν, οὐδὲ πρὸς τὸ οἰκεῖον κέρδος ὁρᾶν ἐθέσπισεν, ἀλλὰ πρὸς τὸ τῶν ἀρχομένων συμφέρον πάντα ἐνομοθέτησεν ὁ πάσης ἁγνείας καὶ καθαρότητος, ἀνάκτορον αὐτοὺς εἶναι βουλόμενος, μεμήνυκε μὲν καὶ διὰ τοῦ ἱεροφάντου Μωσέως· μεμήνυκε δὲ καὶ δι' ἑαυτοῦ, διὰ μὲν τοῦ νομοθέτου φήσας, ὅτι εἴ τις παρακαταθήκην νοθεύσειε, πρῶτον μὲν ἀποδιδότω τὰ ἀφαιρεθέντα, εἶτα ἡκέτω εἰς τὸν νεὼν, οὐ τὸν ἱερέα, ἀλλὰ τὸν κριτὴν ἐξιλασόμενος. διὰ δὲ ἑαυτοῦ, λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται. καὶ ὧν ἂν κρατῆτε, κεκράτηνται. εἰ τοίνυν διὰ τὸ θεῖον πνεῦμα ταύτην εἰλήφασι τὴν ἐξουσίαν. οἱ δι' ὧν ἁμαρτάνουσι, τοῦτο ἀπελαύνοντες, ταύτην δηλονότι τὴν ἐξουσίαν οὐκ ἔχουσιν, ἀλλ' ἐκεῖνοι οἱ διὰ τοῦ ἁγίου πνεύματος εἰδότες, τίνες μέν εἰσιν ἀφέσεως, τίνες δὲ κατακρίσεως ἄξιοι. ἐπειδὴ γὰρ τὸν ἀνθρώπινον τοῦτο ὑπερέβαινε νοῦν, ὁ παράκλητος ὁ τῆς θείας οὐσίας καὶ δόξης κοινωνὸς, διδάσκαλος τοῖς ἀξίοις τῆς ὑποδοχῆς αὐτοῦ ἐγίνετο, ὧν ὁ ἀνθρώπινος νοῦς οὐκ ἀφικνεῖτο.

Τῷ αὐτῷ. σξα.

Ὥσπερ αἱ ἔχεις τῷ τῆς μητρὸς θανάτῳ, οὕτω καὶ ἁμαρτίαι τῷ τῶν τικτόντων μαιοῦνται ὀλέθρῳ.

Ἡρακλείῳ ἐπισκόπῳ. σξβ.

Ἧκεν εἰς σὲ ὁ φίλος, ὁμηρεύσων ὑπὲρ τοῦ πατρὸς, κἀκεῖνον ἀπολύσων τοῦ δεσμωτη-